καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις· καὶ οἱ υἱοὶ Ισραηλ ἐποίησαν
καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ.
25 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐν τῷ ὄρει Σινα λέγων
2 [2]Λάλησον τοῖς υἱοῖς Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτούς Ἐὰν εἰσέλθητε
εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ, ἣν ἐγὼ
3 δίδωμι ὑμῖν, σάββατα τῷ κυρίῳ. [3]ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου
καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου καὶ συνάξεις τὸν καρπὸν αὐ-
4 τῆς. [4]τῷ δὲ ἔτει τῷ ἑβδόμῳ σάββατα ἀνάπαυσις ἔσται τῇ γῇ,
σάββατα τῷ κυρίῳ· τὸν ἀγρόν σου οὐ σπερεῖς καὶ τὴν ἄμπελόν
5 σου οὐ τεμεῖς [5]καὶ τὰ αὐτόματα ἀναβαίνοντα τοῦ ἀγροῦ σου οὐκ
ἐκθερίσεις καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός σου οὐκ ἐκτρυγή-
6 σεις· ἐνιαυτὸς ἀναπαύσεως ἔσται τῇ γῇ. [6]καὶ ἔσται τὰ σάββατα
τῆς γῆς βρώματά σοι καὶ τῷ παιδί σου καὶ τῇ παιδίσκῃ σου καὶ
7 τῷ μισθωτῷ σου καὶ τῷ παροίκῳ τῷ προσκειμένῳ πρὸς σέ, [7]καὶ
τοῖς κτήνεσίν σου καὶ τοῖς θηρίοις τοῖς ἐν τῇ γῇ σου ἔσται πᾶν
τὸ γένημα αὐτοῦ εἰς βρῶσιν.
8 [8]Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη
ἑπτάκις, καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσα-
9 ράκοντα ἔτη. [9]καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ
ὑμῶν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός· τῇ ἡμέρᾳ τοῦ
10 ἱλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν [10]καὶ ἁγιάσετε
τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτὸν καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς
γῆς πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν· ἐνιαυτὸς ἀφέσεως σημασία
αὕτη ἔσται ὑμῖν, καὶ ἀπελεύσεται εἷς ἕκαστος εἰς τὴν κτῆσιν αὐ-
11 τοῦ, καὶ ἕκαστος εἰς τὴν πατρίδα αὐτοῦ ἀπελεύσεσθε. [11]ἀφέσεως
σημασία αὕτη, τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτὸς ἔσται ὑμῖν· οὐ
σπερεῖτε οὐδὲ ἀμήσετε τὰ αὐτόματα ἀναβαίνοντα αὐτῆς καὶ οὐ
12 τρυγήσετε τὰ ἡγιασμένα αὐτῆς, [12]ὅτι ἀφέσεως σημασία ἐστίν,
ἅγιον ἔσται ὑμῖν, ἀπὸ τῶν πεδίων φάγεσθε τὰ γενήματα αὐτῆς.
13 [13]Ἐν τῷ ἔτει τῆς ἀφέσεως σημασίᾳ αὐτῆς ἐπανελεύσεται ἕκα-
14 στος εἰς τὴν κτῆσιν αὐτοῦ. [14]ἐὰν δὲ ἀποδῷ πρᾶσιν τῷ πλησίον
σου ἐὰν καὶ κτήσῃ παρὰ τοῦ πλησίον σου, μὴ θλιβέτω ἄνθρω-
15 πος τὸν πλησίον· [15]κατὰ ἀριθμὸν ἐτῶν μετὰ τὴν σημασίαν κτήσῃ
παρὰ τοῦ πλησίον, κατὰ ἀριθμὸν ἐνιαυτῶν γενημάτων ἀποδώσε-
16 ταί σοι. [16]καθότι ἂν πλεῖον τῶν ἐτῶν, πληθύνῃ τὴν ἔγκτησιν αὐ-
τοῦ, καὶ καθότι ἂν ἔλαττον τῶν ἐτῶν, ἐλαττονώσῃ τὴν κτῆσιν
17 αὐτοῦ· ὅτι ἀριθμὸν γενημάτων αὐτοῦ οὕτως ἀποδώσεταί σοι. [17]μὴ

23 εν > Bc | καθα] + περ Bc
25 5 αναβαιν.] pr. τα A | σου ult.] μου A† || 7 αυτου] σου A || 9 τω $1^0$] pr. εν B† || 10 αγιασατε B*A | εκαστος $1^0$] pr. κατ A† || 11 αμησετε] μη -σητε A || 13 εκαστος > B*† | εγκτησιν Bc || 15 αριθμον $1^0 \frown 2^0$ A || 16 και et ελαττον των ετων > A | κτησιν] εγκτ. Bc

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/254 UNIVERSITÄT LEIPZIG